**2–5:** Mc 14,1.2. 2 οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται,
L 22,1.2. καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ
20,18. 3 σταυρωθῆναι. Τότε συνήχθησαν οἱ ἀρχιερεῖς
καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ
4 ἀρχιερέως τοῦ λεγομένου Καϊάφα, καὶ συνεβουλεύ-
σαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσιν καὶ ἀπο-
5 κτείνωσιν· ˡ ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ
**6–13:** θόρυβος γένηται ἐν τῷ λαῷ.
Mc 14,3–9. J 12,1–8. 6 Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ
L 7,36–50. 7 Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἔχουσα
ἀλάβαστρον μύρου βαρυτίμου καὶ κατέχεεν ἐπὶ
8 τῆς κεφαλῆς αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ
μαθηταὶ ἠγανάκτησαν λέγοντες· εἰς τί ἡ ἀπώλεια
9 αὕτη; ἐδύνατο γὰρ τοῦτο πραθῆναι πολλοῦ καὶ
10 δοθῆναι πτωχοῖς. γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·
τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν
Dt 15,11. 11 ἠργάσατο εἰς ἐμέ· πάντοτε γὰρ τοὺς πτωχοὺς
ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε·
12 βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός
13 μου πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. ἀμὴν λέγω
ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν
ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη
**14–16:** Mc 14,10.11. 14 εἰς μνημόσυνον αὐτῆς. Τότε πορευθεὶς εἷς τῶν
L 22,3–6. δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς
J 11,57. Zch 11,12. 15 τοὺς ἀρχιερεῖς ˡ εἶπεν· τί θέλετέ μοι δοῦναι, κἀγὼ
ὑμῖν παραδώσω αὐτόν; **οἱ δὲ ἔστησαν αὐτῷ τριά-**
1 T 6,9.10. 16 **κοντα ἀργύρια.** καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα
**17–19:** αὐτὸν παραδῷ.
Mc 14,12–16. L 22,7–13. 17 Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μα-
Ex 12,18–20. θηταὶ τῷ Ἰησοῦ λέγοντες· ποῦ θέλεις ἑτοιμάσωμέν
21,3. 18 σοι φαγεῖν τὸ πάσχα; ˡ ὁ δὲ εἶπεν· ὑπάγετε εἰς

---

*7* T *πολυτιμου* *15* T *και εγω* | *αργυρ.* : hʳ ⊣ *στατηρας* ⊢, it *στατηρας αργυριου*

---

*3* *οι αρχιερ.* : + *και οι γραμματεις* | *Καϊφα* *9* *τουτο* : + *το μυρον* | *τοις πτωχοις*

τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ· ὁ
διδάσκαλος λέγει· ὁ καιρός μου ἐγγύς ἐστιν· πρὸς
σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου. καὶ 19
ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς,
καὶ ἡτοίμασαν τὸ πάσχα. Ὀψίας δὲ γενομένης 20 20–30: Mc 14,17–26.
ἀνέκειτο μετὰ τῶν δώδεκα μαθητῶν. καὶ ἐσθιόν- 21 L 22,14–23. J 13,21–26.
των αὐτῶν εἶπεν· ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν
παραδώσει με. καὶ λυπούμενοι σφόδρα ἤρξαντο 22
λέγειν αὐτῷ εἷς ἕκαστος· μήτι ἐγώ εἰμι, κύριε;
ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὁ ἐμβάψας μετ᾽ ἐμοῦ τὴν 23
χεῖρα ἐν τῷ τρυβλίῳ, οὗτός με παραδώσει. ὁ μὲν 24
υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ
αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς
τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ
οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. ἀποκριθεὶς 25
δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπεν· μήτι ἐγώ
εἰμι, ῥαββεί; λέγει αὐτῷ· σὺ εἶπας. Ἐσθιόντων 26 14,19. 1 K 11,23–25.
δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον καὶ εὐλογήσας
ἔκλασεν καὶ δοὺς τοῖς μαθηταῖς εἶπεν· λάβετε
φάγετε· τοῦτό ἐστιν τὸ σῶμά μου. καὶ λαβὼν 27
ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων·
πίετε ἐξ αὐτοῦ πάντες· ¹τοῦτο γάρ ἐστιν **τὸ αἷμά** 28 Ex 24,8. Jr 31,31.
μου **τῆς διαθήκης** τὸ περὶ πολλῶν ἐκχυννόμενον Zch 9,11.
εἰς ἄφεσιν ἁμαρτιῶν. λέγω δὲ ὑμῖν, οὐ μὴ πίω 29
ἀπ᾽ ἄρτι ἐκ τούτου τοῦ γενήματος τῆς ἀμπέλου
ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ᾽
ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. Ps 113–118.
Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 30 L 22,39. J 18,1.
Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· πάντες ὑμεῖς σκαν- 31 31–35: Mc 14,27–31.
δαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται L 22,31–34.
γάρ· **πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται** Zch 13,7.
**τὰ πρόβατα τῆς ποίμνης**· μετὰ δὲ τὸ ἐγερθῆναί 32 J 16,32. 28,7.

---

*20* H [*μαθητων*] *27 και 2°* : [H]

---

*26 τον αρτον* | *ευλογ.* : *ευχαριστησας* | *εδιδου τ. μ. και* *27 το ποτηριον* *28 της* : pr *το*, + *καινης*

33 *με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἀποκριθεὶς*
*δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ πάντες σκανδαλισθή-*
*σονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι.*
J 13,38. 34 *ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ*
*τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ*
56. 35 *με. λέγει αὐτῷ ὁ Πέτρος· κἂν δέῃ με σὺν σοὶ*
*ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. ὁμοίως καὶ*
*πάντες οἱ μαθηταὶ εἶπον.*
36—46: Mc 14,32—42. 36 *Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον*
L 22,40—46. *λεγόμενον Γεθσημανεί, καὶ λέγει τοῖς μαθηταῖς·*
*καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν ἐκεῖ προσεύξω-*
H 5,7. 37 *μαι. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο*
*υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν.*
Ps 43,5. 38 *τότε λέγει αὐτοῖς·* **περίλυπός ἐστιν ἡ ψυχή μου**
J 12,27. *ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ'*
J 18,11. H 5,8. 39 *ἐμοῦ. καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον*
*αὐτοῦ προσευχόμενος καὶ λέγων· πάτερ μου, εἰ*
*δυνατόν ἐστιν, παρελθάτω ἀπ' ἐμοῦ τὸ ποτήριον*
40 *τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς σύ. καὶ*
*ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς*
*καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· οὕτως οὐκ*
H 2,14; 4,15. 41 *ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; γρη-*
*γορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς*
*πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ*
42 *ἀσθενής. πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο*
*λέγων· πάτερ μου, εἰ οὐ δύναται τοῦτο παρελθεῖν*
43 *ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. καὶ*
*ἐλθὼν πάλιν εὗρεν αὐτοὺς καθεύδοντας, ἦσαν γὰρ*
2 K 12,8. 44 *αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. καὶ ἀφεὶς αὐτοὺς*
*πάλιν ἀπελθὼν προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν*
45 *λόγον εἰπὼν πάλιν. τότε ἔρχεται πρὸς τοὺς*

---

*35* H *ειπαν* *36* H [*ου*] *39* hT *προσελθων* | T— *μου* *42* H [*λεγων*] *44.45* h *ειπων. παλιν τοτε*

---

*36 Γεθσαμανει* *40 ισχυσας* *42 τουτο* : + *το ποτηριον* | *παρελθ.* : + *απ εμου* *43 ευρισκει*

μαθητὰς καὶ λέγει αὐτοῖς· καθεύδετε λοιπὸν καὶ
ἀναπαύεσθε· ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν.
ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. 46
Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν 47 47–56: Mc 14,43–50. L 22,47–53. J 18,3–12.
δώδεκα ἦλθεν, καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ
μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσ-
βυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν 48
αὐτοῖς σημεῖον λέγων· ὃν ἂν φιλήσω αὐτός ἐστιν·
κρατήσατε αὐτόν. καὶ εὐθέως προσελθὼν τῷ 49
Ἰησοῦ εἶπεν· χαῖρε, ῥαββεί, καὶ κατεφίλησεν
αὐτόν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἑταῖρε, ἐφ᾽ ὃ 50
πάρει. τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας
ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. καὶ ἰδοὺ 51
εἷς τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν
τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ
ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. τότε λέγει 52 Gn 9,6.
αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψον τὴν μάχαιράν σου
εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες
μάχαιραν ἐν μαχαίρῃ ἀπολοῦνται. ἢ δοκεῖς ὅτι 53
οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα μου, καὶ
παραστήσει μοι ἄρτι πλείω δώδεκα λεγιῶνας
ἀγγέλων; πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι 54
οὕτως δεῖ γενέσθαι; Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ 55
Ἰησοῦς τοῖς ὄχλοις· ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ
μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; καθ᾽ ἡμέραν
ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων, καὶ οὐκ ἐκρατή-
σατέ με. Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν 56 31.
αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες
ἀφέντες αὐτὸν ἔφυγον.
⸍Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς 57 57–75: Mc 14,53–72. L 22,54–71. J 18,13–27.

---

*45 λοιπ.* : T *το λοιπ.* | *ιδου* : h + *γαρ* *48* T *εαν* *50* T *παρει;* *53* T *λεγιωνων* *55* T *συλλ. με·* *56 μαθηται* : h + *αυτου*

---

*45 αναπαυεσθε;* *50 ο : ω* *51 επαταξεν . . . και αφ.* 52 *αποθανουνται* *55 καθ ημερ.* : + *προς υμας*

*Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ*
58 *πρεσβύτεροι συνήχθησαν. ὁ δὲ Πέτρος ἠκολούθει*
*αὐτῷ [ἀπὸ] μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως,*
*καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν*
59 *ἰδεῖν τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς καὶ τὸ συνέδριον*
*ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ*
60 *ὅπως αὐτὸν θανατώσωσιν, καὶ οὐχ εὗρον πολλῶν*
*προσελθόντων ψευδομαρτύρων. ὕστερον δὲ προσ-*
J 2,19–21. 61 *ελθόντες δύο ˡ εἶπον· οὗτος ἔφη· δύναμαι κατα-*
*λῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμερῶν*
62 *οἰκοδομῆσαι. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ·*
*οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν;*
27,12. 63 *ˡ ὁ δὲ Ἰησοῦς ἐσιώπα. καὶ ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ·*
*ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν*
Ps 110,1. 16,27; 24,30. Dn 7,13. 64 *εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει*
*αὐτῷ ὁ Ἰησοῦς· σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ'*
*ἄρτι ὄψεσθε* ***τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον***
***ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν***
9,3. J 10,33. 65 ***νεφελῶν τοῦ οὐρανοῦ.*** *τότε ὁ ἀρχιερεὺς διέρρηξεν*
*τὰ ἱμάτια αὐτοῦ λέγων· ἐβλασφήμησεν· τί ἔτι χρείαν*
*ἔχομεν μαρτύρων; ἴδε νῦν ἠκούσατε τὴν βλασφη-*
J 19,7. Lv 24,16. 66 *μίαν· ˡ τί ὑμῖν δοκεῖ; οἱ δὲ ἀποκριθέντες εἶπον·*
Is 50,6. 67 *ἔνοχος θανάτου ἐστίν. Τότε ἐνέπτυσαν εἰς τὸ*
*πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐτόν, οἱ δὲ*
68 *ἐράπισαν ˡ λέγοντες· προφήτευσον ἡμῖν, Χριστέ, τίς*
69 *ἐστιν ὁ παίσας σε; Ὁ δὲ Πέτρος ἐκάθητο ἔξω*
*ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη*
*λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου.*
70 *ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων· οὐκ οἶδα*

---

*58* T— [*απο*] *59* T *θανατωσουσιν* *61* H *ειπαν* | *ημερ.* : T+ *αυτον* *62* T *αποκρινη τι* *63* *και* : T+ *αποκριθεις* *64* h *ειπας;* *65* H *διερηξεν* *66* H *ειπαν*

---

*59 αρχιερ.* : + *και οι πρεσβυτεροι* *60 δυο* : + *ψευδομαρτυρες* *61 ουτ. εφη* : *τουτον ηκουσαμεν λεγοντα* *63 θεου* 2° : + *του ζωντος* *69 Γαλιλ.* : *Ναζωραιου* *70 παντ.* : *αυτων παντων vl αυτων* | fin + *ουδε επισταμαι*

τί λέγεις. ἐξελθόντα δὲ εἰς τὸν πυλῶνα εἶδεν 71
αὐτὸν ἄλλη καὶ λέγει τοῖς ἐκεῖ· οὗτος ἦν μετὰ
Ἰησοῦ τοῦ Ναζωραίου. καὶ πάλιν ἠρνήσατο μετὰ 72
ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. μετὰ μικρὸν 73
δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ·
ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ, καὶ γὰρ ἡ λαλιά σου
δῆλόν σε ποιεῖ. τότε ἤρξατο καταθεματίζειν καὶ 74
ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. καὶ εὐθέως
ἀλέκτωρ ἐφώνησεν. καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ 75 34.
ῥήματος Ἰησοῦ εἰρηκότος ὅτι πρὶν ἀλέκτορα
φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω
ἔκλαυσεν πικρῶς.

Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες 27 Mc 15,1. L 22,66. J 18,28.
οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ
Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν 2 L 23,1. J 18,31.32.
ἀπήγαγον καὶ παρέδωκαν Πειλάτῳ τῷ ἡγεμόνι.
Τότε ἰδὼν Ἰούδας ὁ παραδοὺς αὐτὸν ὅτι κατεκρίθη, 3 26,15.
μεταμεληθεὶς ἔστρεψεν τὰ τριάκοντα ἀργύρια τοῖς
ἀρχιερεῦσιν καὶ πρεσβυτέροις ˡ λέγων· ἥμαρτον πα- 4
ραδοὺς αἷμα ἀθῷον. οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς;
σὺ ὄψῃ. καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνε- 5 Act 1,18. 2 Sm 17,23.
χώρησεν, καὶ ἀπελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς 6 Mc 12,41.
λαβόντες τὰ ἀργύρια εἶπαν· οὐκ ἔξεστιν βαλεῖν
αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν.
συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν 7
ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ 8 Act 1,19.
ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς
σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου 9 Zch 11,12.13. Jr 32,6—9.
τοῦ προφήτου λέγοντος· **καὶ ἔλαβον τὰ τριάκοντα
ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο**

---

*71 δε* : T+ *αυτον* *73 δηλ. σε ποιει* : $h^r$ ⊣ *ομοιαζει* ⊢ *74* H *ευθυς* **27**,*2 Πειλατω* : $h^r$ ⊣ *Ποντιω* ⊢ *Πειλ.* *3* hT *παραδιδοὺς* *4 αθωον* : *H δικαιον* | H *ειπαν* *9* $h^r$— *Ιερεμιου, it Ζαχαριου, it* Esaiam

---

*71 τοις* : *αυτοις* *73* — *και συ* **27**,*3 απεστρεψεν* *5 τα* : + *τριακοντα* | *εν τω ναω*

10 **ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν**
11–14: 11 **τοῦ κεραμέως, καθὰ συνέταξέν μοι κύριος.** Ὁ δὲ
Mc 15,2–5. L 23,2.3. Ἰησοῦς ἐστάθη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπη-
J 18,29–38. ρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· σὺ εἶ ὁ βασιλεὺς
26,63. Is 53,7. 12 τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη· σὺ λέγεις. καὶ
ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων
13 καὶ πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. τότε λέγει
αὐτῷ ὁ Πειλᾶτος· οὐκ ἀκούεις πόσα σου κατα-
J 19,9. 14 μαρτυροῦσιν; καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ
15–26: Mc 15,6–15. 15 ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κατὰ
L 23,13–25. δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ
J 18,39–19,1. 16 δέσμιον ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον ἐπί-
17 σημον λεγόμενον Βαραββᾶν. συνηγμένων οὖν αὐτῶν
εἶπεν αὐτοῖς ὁ Πειλᾶτος· τίνα θέλετε ἀπολύσω ὑμῖν,
J 11,47.48; 12,19. 18 Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; ᾔδει
19 γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθη-
μένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλεν πρὸς
αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· μηδὲν σοὶ καὶ τῷ
δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ'
20 ὄναρ δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσ-
βύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν
21 Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς
δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· τίνα θέλετε ἀπὸ τῶν
δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπαν· τὸν Βαραββᾶν.
22 λέγει αὐτοῖς ὁ Πειλᾶτος· τί οὖν ποιήσω Ἰησοῦν
τὸν λεγόμενον Χριστόν; λέγουσιν πάντες· σταυρω-
23 θήτω. ὁ δὲ ἔφη· τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ
Dt 21,6. 24 περισσῶς ἔκραζον λέγοντες· σταυρωθήτω. ἰδὼν
δὲ ὁ Πειλᾶτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον
θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας
κατέναντι τοῦ ὄχλου λέγων· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵ-

---

*10* h *εδωκα* *11* *εφη* : hR+ *αυτω* | h *λεγεις;* *16* *Βαραββ.* : h[r] *Ιησουν Βαραββ., it 17* *17* H [*τον*] *Βαραββαν* *24* hT *απεναντι* | *αιματ.* : h [R] + *του δικαιου*

---

*11 εστη* *22 σταυρωθητω σταυρωθητω*

ματος τούτου· ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς 25 Act 5,28.
πᾶς ὁ λαὸς εἶπεν· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ
ἐπὶ τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐτοῖς τὸν 26
Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν
ἵνα σταυρωθῇ.

Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες 27 27–30: Mc 15,16–19. J 19,2.3.
τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν
ὅλην τὴν σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν χλαμύδα 28
κοκκίνην περιέθηκαν αὐτῷ, καὶ πλέξαντες στέφανον 29
ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ
κάλαμον ἐν τῇ δεξιᾷ αὐτοῦ, καὶ γονυπετήσαντες
ἔμπροσθεν αὐτοῦ ἐνέπαιξαν αὐτῷ λέγοντες· χαῖρε,
βασιλεῦ τῶν Ἰουδαίων, καὶ ἐμπτύσαντες εἰς αὐτὸν 30 Is 50,6.
ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν
αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν 31 31–56: Mc 15,20–41. L 23,26.33–49. J 19,16–30.
χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ
ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι 32
δὲ εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα·
τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.
Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ 33
ἐστιν κρανίου τόπος λεγόμενος, ἔδωκαν αὐτῷ πιεῖν 34 Ps 69,22.
οἶνον μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ
ἠθέλησεν πιεῖν. σταυρώσαντες δὲ αὐτὸν διεμερί- 35 Ps 22,19.
σαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες κλῆρον, καὶ καθή- 36
μενοι ἐτήρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω 37
τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην·
ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ
ΙΟΥΔΑΙΩΝ. Τότε σταυροῦνται σὺν αὐτῷ δύο 38 Is 53,12.

---

*28* h ενδυσαντες *29* hT ο βασιλευς *31* T εκδυσαντες αυτ. τ. χλ. ενεδ. *32* Κυρηναιον : h$^r$ + ⊣ εις απαντησιν αυτου ⊢ *34* T πειν *bis* | οινον : h$^r$ οξος *35* K βαλλοντες | fin : h$^r$ + ινα πληρωθη το ρηθεν υπο του προφητου· διεμερισαντο τα ιματια μου εαυτοις, και επι τον ιματισμον μου εβαλον κληρον.

---

*28* sic και ενεδυσαν αυτον (ιματιον πορφυρουν και) χλαμυδα κοκκινην *29* ενεπαιξον

Ps 22,8; 109,25. 39 λησταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ
παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν **κινοῦντες τὰς**
26,61. J 2,19. 40 **κεφαλὰς αὐτῶν** ¹ καὶ λέγοντες· ὁ καταλύων τὸν ναὸν
καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν·
εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.
41 ὁμοίως οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμ-
42 ματέων καὶ πρεσβυτέρων ἔλεγον· ἄλλους ἔσωσεν,
ἑαυτὸν οὐ δύναται σῶσαι· βασιλεὺς Ἰσραὴλ ἐστιν,
καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν
Ps 22,9. Sap 2,13. 43 ἐπ' αὐτόν. **πέποιθεν ἐπὶ τὸν θεόν, ῥυσάσθω νῦν**
18–20. 44 **εἰ θέλει αὐτόν**· εἶπεν γὰρ ὅτι θεοῦ εἰμι υἱός. τὸ
δ' αὐτὸ καὶ οἱ λησταὶ οἱ συνσταυρωθέντες σὺν
45 αὐτῷ ὠνείδιζον αὐτόν. Ἀπὸ δὲ ἕκτης ὥρας
σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης.
Ps 22,2. 46 περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς
φωνῇ μεγάλῃ λέγων· ἠλεὶ ἠλεὶ λεμὰ **σαβαχ-
θανεί**; τοῦτ' ἔστιν· **θεέ μου θεέ μου, ἵνα τί** με
47 **ἐγκατέλιπες**; τινὲς δὲ τῶν ἐκεῖ ἑστηκότων ἀκού-
Ps 69,22. 48 σαντες ἔλεγον ὅτι Ἠλείαν φωνεῖ οὗτος. καὶ εὐθέως
δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας
49 τε **ὄξους** καὶ περιθεὶς καλάμῳ **ἐπότιζεν αὐτόν**. οἱ
δὲ λοιποὶ εἶπαν· ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλείας
50 σώσων αὐτόν. ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ
Ex 26,31. H 10,19.20. 51 μεγάλῃ ἀφῆκεν τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ κατα-
πέτασμα τοῦ ναοῦ ἐσχίσθη [ἀπ'] ἄνωθεν ἕως κάτω
εἰς δύο, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχί-

---

*38 δεξιων* : h[r] + nomine Zoatham *et ευωνυμων* : + nomine Camma *40 ει του θ.* : h *θ. ει* : T+ *και* *41 ομοιως* : [H] R+ *και* *42* T *πιστευσωμεν* *43* h *επι τω θεω* *45* h[r] — *επι πασαν την γην* *46* H *εβοησεν* | H *ἐλωί ἐλωί*, R *ἠλί, ἠλί*, h[r] ⊣ *ἠλεί ἠλεί λαμὰ ζαφθανεί* ⊢ *49 ειπαν* : hT *ελεγον* | *σωσων αυτ.* : H+ ⟦*αλλος δε λαβων λογχην ενυξεν αυτου την πλευραν, και εξηλθεν υδωρ και αιμα.*⟧ *51 απ* : R —T

---

*41 γραμμ. κ. πρεσβ. : γρ. vl γρ. κ. φαρισαιων vl γρ. κ. πρ. κ. φ.* *42 σωσαι; | πιστευομεν | επ αυτον : επ αυτω vl αυτω vl εις αυτον* *43 νυν : + αυτον* *44 — συν* *47 εστωτων* *50 — παλιν*

σθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ 52
σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν· καὶ 53 Act 26,23.
ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν
αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανί-
σθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' 54
αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν ἰδόντες τὸν σεισμὸν
καὶ τὰ γινόμενα ἐφοβήθησαν σφόδρα, λέγοντες·
ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. Ἦσαν δὲ ἐκεῖ 55 L 8,2.3.
γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες
ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακο-
νοῦσαι αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ 56 20,20.
Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσὴφ μήτηρ, καὶ ἡ
μήτηρ τῶν υἱῶν Ζεβεδαίου. 57–61:
Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος 57 Mc 15,42–47. L 23,50–55.
ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς J 19,38–42.
ἐμαθητεύθη τῷ Ἰησοῦ· οὗτος προσελθὼν τῷ Πει- 58 Ex 34,25.
λάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. τότε ὁ Πει-
λᾶτος ἐκέλευσεν ἀποδοθῆναι. καὶ λαβὼν τὸ σῶμα 59
ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ [ἐν] σινδόνι καθαρᾷ, καὶ 60 Is 53,9.
ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατό-
μησεν ἐν τῇ πέτρᾳ, καὶ προσκυλίσας λίθον μέγαν
τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. Ἦν δὲ ἐκεῖ 61
Μαριὰμ ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθή-
μεναι ἀπέναντι τοῦ τάφου. Τῇ δὲ ἐπαύριον, 62
ἥτις ἐστὶν μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ
ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πειλᾶτον ˡ λέγοντες· 63 40. 12,40.
κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι
ζῶν· μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέλευσον οὖν 64
ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας,
μή ποτε ἐλθόντες οἱ μαθηταὶ κλέψωσιν αὐτὸν καὶ

---

54 T εκατονταρχης | h υιος θεου 56 Μαρια 1° : h Μαριαμ | hR Ιωση | Ιωσ. μητ. κ. η. μητηρ : $h^r$ η Μαρια η Ιωσηφ και η Μαρια η et η Ιωσηφ μητ. κ. η μ. et Ιωσ. κ η μητηρ 57 h εμαθητευσεν 59 T— [εν] 64 μαθηται : hR+ αυτου

---

54 γενομενα 58 αποδοθ. : + το σωμα 64 κλεψωσιν : pr νυκτος

*εἴπωσιν τῷ λαῷ· ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ*
65 *ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. ἔφη*
*αὐτοῖς ὁ Πειλᾶτος· ἔχετε κουστωδίαν· ὑπάγετε*
Dn 6,18. 66 *ἀσφαλίσασθε ὡς οἴδατε. οἱ δὲ πορευθέντες ἠσφαλί-*
*σαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς*
*κουστωδίας.*
1–10: Mc 16,1–10. L 24,1–10. J 20,1–18. 28 *Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν*
*σαββάτων, ἦλθεν Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη*
2 *Μαρία θεωρῆσαι τὸν τάφον. καὶ ἰδοὺ σεισμὸς*
*ἐγένετο μέγας· ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ*
*οὐρανοῦ καὶ προσελθὼν ἀπεκύλισεν τὸν λίθον καὶ*
17,2. Act 1,10. 3 *ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ εἰδέα αὐτοῦ ὡς*
*ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡς χιών.*
4 *ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες*
5 *καὶ ἐγενήθησαν ὡς νεκροί. ἀποκριθεὶς δὲ ὁ ἄγγελος*
*εἶπεν ταῖς γυναιξίν· μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ*
12,40; 16,21; 17,23; 20,19. Act 2,36. 6 *ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν*
*ὧδε· ἠγέρθη γὰρ καθὼς εἶπεν· δεῦτε ἴδετε τὸν*
26,32. 7 *τόπον ὅπου ἔκειτο. καὶ ταχὺ πορευθεῖσαι εἴπατε*
*τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν,*
*καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ*
8 *αὐτὸν ὄψεσθε. ἰδοὺ εἶπον ὑμῖν. καὶ ἀπελθοῦσαι*
*ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς*
*μεγάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.*
9 *καὶ ἰδοὺ Ἰησοῦς ὑπήντησεν αὐταῖς λέγων· χαίρετε.*
*αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας*
H 2,11. 10 *καὶ προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ*
*Ἰησοῦς· μὴ φοβεῖσθε· ὑπάγετε ἀπαγγείλατε τοῖς*
*ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν,*
11 *κἀκεῖ με ὄψονται. Πορευομένων δὲ αὐτῶν ἰδού*

---

*65 εφη* : **h**+ *δε* **28,***1 Μαρια* 1° : **hT** *Μαριαμ* *6 εκειτο* : ⊣**h**ʳ⊢ [**R**] + *ο κυριος* *7 ειπον* : **h**ʳ *fort* **error primit. pro** *ειπεν* *10* **T** *και εκει*

---

**28,***2 εξ* : *απ* | — *και* 2° | *λιθον* : + *απο της θυρας* *8 εξελθουσαι* *9* **pr** *ως δε επορευοντο απαγγειλαι τοις μαθηταις αυτου*

*τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν*
*ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.*
*καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων συμβούλιόν* 12
*τε λαβόντες ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώ-*
*ταις, ¹λέγοντες· εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ* 13 27,64.
*νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων.*
*καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς* 14
*πείσομεν καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. οἱ δὲ* 15
*λαβόντες ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν. Καὶ*
*διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι*
*τῆς σήμερον [ἡμέρας]. Οἱ δὲ ἕνδεκα μαθηταὶ* 16 7.
*ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ*
*ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἰδόντες αὐτὸν προσ-* 17
*εκύνησαν, οἱ δὲ ἐδίστασαν. καὶ προσελθὼν ὁ* 18 11,27. E 1,20—22.
*Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· ἐδόθη μοι πᾶσα* Dn 7,14.
*ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ [τῆς] γῆς. πορευθέντες* 19 Mc 16,15.16.
*[οὖν] μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες*
*αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ*
*καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς* 20 18,20.
*τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ*
*μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντε-*
*λείας τοῦ αἰῶνος.*

---

*11* T *ανηγγειλαν* *14 επι* : h *υπο* *15* hR *τα αργυρια* | hT *εφημισθη* | T— [*ημερας*] *18* [*της*] : R—T *19* [*ουν*] : H—T | h *βαπτισαντες*

---

*12 αργυριον ικανον* *17 προσεκυν.* : + *αυτω* *18 ουρανοις* *19 πορευεσθε νυν μαθητ.* | fin + *αμην.*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/